# TEZAUR LITURGIC

**29 APRILIE**

**HARALAMBOS BOUSIA**

# SLUJBA SF.IERARH VASILE DE LA OSTROG, MITROPOLITUL HERȚEGOVINEI

**ATENA,2015**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 29 ΑΠΡΙΛΙΟΣ
# ΒΑΣΙΛΕΙΟΣ ΟΣΤΡΟΓΚ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ἑρζεγοβίνης τὸν γόνον Σερβίας καύχημα, καὶ τῶν ὀθοφρονούντων, χριστωνύμων τὸ κλέος, Βασίλειον Ὀστρόγου τὸν οἰκιστήν, ὃν Χριστὸς ἐθαυμάστωσε, καὶ ἰαμάτων ἀνέδειξε ποταμόν, ἐγκωμίοις καταστέψωμεν.

Τοῦ Ζαχουμίου ποιμένα τὸν ἐνθεώτατον, τὸν ἐποφθέντα βάθρον, ἀρετῆς καὶ σοφίας, καὶ ῥεῖθρον διειδέστατον ἀληθῶς, ὀρθοδόξου φρονήματος, ἀνευφημήσωμεν ᾄσμασι μελιχροῖς, θεοφόρητον Βασίλειον.

Εὐχῆς ἀόκνου τὸν στῦλον τὸν ἀδιάσειστον, νηστείας ἀκτησίας, συμπαθείας πρὸς πέλας, καὶ νήψεως πυξίον ὡς παμφαῆ, ἱεράρχην τιμήσωμεν, ὡς Ἐκκλησίας διάκοσμον τοῦ Χριστοῦ, πνευματέμφορον Βασίλειον.

Τὸν ἐραστὴν ἡσυχίας ἐκ τῆς νεότητος, τῶν χρόνων καὶ Ὁσίων, ζηλωτὴν μονοτρόπων, Βασίλειον τὸν θεῖον ὡς θησαυρόν, δωρημάτων τοῦ Πνεύματος, ἀξιοχρέως ὑμνήσωμεν οἱ πιστοί, θεοτέρπνοις μελῳδήμασι.

*Δόξα. Ἦχος β΄.*

Τὸν ὑπέρμαχον τῆς Ὀρθοδόξου πίστεως, καὶ προστάτην τοῦ εὐσεβοῦς αὐτοῦ πληρώματος, τὸν Ἀποστόλων τρίβοις ἀκολουθήσαντα καὶ διωγμοὺς καὶ βάσανα ὑπομείναντα, Βασίλειον, Ὀστρόγου τὸ ἐγκαλλώπισμα τιμήσωμεν κράζοντες· Ἑρζεγοβίνης καὶ Σερβίας ὄλβε πολυτίμητε, ὁ Θεῷ καὶ ἀνθρώποις εὐαρεστήσας τῇ ἰσαγγέλῳ σου πολιτείᾳ, μὴ παύσῃ Κυρίου δεόμενος ὑπὲρ τῶν ὑμνούντων τὸ σὸν ἀκραιφνέστατον φρόνημα.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαίροις ὁ τηλαυγῶς, φωτίσας τὴν Σερβίαν, καὶ τὴν Ἑρζεγοβίνην, ἀκτῖσι βιοτῆς σου, θεορτεποῦς Βασίλειε.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Σπήλαιον τὸ σεπτόν, Ὀστρόγου σῶν ἀόκνων, ἀνέδειξας κονίστραν, καμάτων ἱεράρχα, θεοειδὲς Βασίλειε.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Θήκην σῶν ἱερῶν, Βασίλειε λειψάνων, θαυμάτων μυροθήκην, ἀνέδειξε καὶ κρήνην, ἰάσεων ὁ Κύριος.

*Δόξα. Τριαδικόν.*

Δόξα Σοι θαυμαστή, Τριὰς ὑπεραγία, ἡ δείξασα Ὀστρόγου, Βασίλειον χειμάῤῥουν, τῶν δωρεῶν τῶν θείων Σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Μῆτερ τοῦ Λυτρωτοῦ, ὑπερευλογημένη, ἐλέησον Σοὺς δούλους, πρεσβείαις Βασιλείου, Ὀστρόγου τοῦ κοσμήτορος.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἀσκητὴν θεοφόρον καὶ πνευματέμφορον, τῆς οὐρανῶν Βασιλείας τὸν κληρονόμον λαμπρῶς, εὐφημήσωμεν Βασίλειον τὸν ἔνθεον, ὡς τοῦ Ὀστρόγου ἱερόν, κλέος καὶ θεοειδῆ, ποιμένα τοῦ Ζαχουμίου, ἀξίως θαυμαστωέντα, λιτὰς αὐτοῦ θερμὰς αἰτούμενοι.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Θεοφόρον Βασίλειον, τοῦ Ὀστρόγου τὸ σέμνωμα, καὶ Ὀρθοδοξίας τὸ νέον καύχημα, τὸν ἰσαγγέλως βιώσαντα, ἐκθύμως ὑμνήσωμεν, ὡς σεπτῶν ἱεραρχῶν, καὶ Ὁσίων ἀκρώρειαν, πόθῳ κράζοντες· Χαῖρε πρόβολε πίστεως ἀμώμου τῆς ἡμῶν, καὶ θεῖον βάθρον ὀρθοπραξίας καὶ νήψεως.

Ζαχουμίου τὸν πρόεδρον, τὸν σεπτὸν καὶ φιλάγιον, ἔνθεον Βασίλειον κοπιάσαντα, ὑπὲρ τῆς ποίμνης

τιμήσωμεν, αὐτοῦ ὕμνοις πρέπουσι, φιλοσίων οἱ χοροί, ὅτι ὕπνον οὐκ ἔδωκεν ὁ μακάριος, τῆς φλεβάροις αὐτοῦ ἵνα ἐκ πλάνης, οὐνιτῶν αὐτῷ ἀγέλην, λαχοῦσαν σώσῃ τὴν ἔλλογον.

Ἐγκρατείας ἀγῶσί σου, προσευχαῖς νυχθημέροις σου, στάσεσι παννύχοις δακρύων χεύμασι, κακοπαθείαις στερήσεσι, νηστείαις Βασίλειε, ἀλαλήτοις στεναγμοῖς, καὶ γονάτων τοῖς κλίσεσι, κατεμάρανας, τὰ χαμαίζηλα πάθη τοῦ σαρκίου, καὶ δοχεῖον τῆς Τριάδος, τῆς θείας ὤφθης πολύτιμον.

Ἱεράρχα θεόκλητε, καὶ ποιμὴν λαοπρόβλητε, Ζαχουμίου πίστιν ἡμῶν ὀρθόδοξον, οὐ μόνον χαίρων ἐτήρησας, ἀλλὰ καὶ ἐκήρυξας, σῇ ἐφέσει τῆς ψυχῆς, ὁλοθύμῳ Βασίλειε, ὡς βαστάζουσαν, τὰς ἀρχὰς τοῦ σεπτοῦ Εὐαγγελίου, καὶ τῶν θείων Ἀποστόλων, διαδοχὴν τὴν σωτήριον.

Καισαρείας συνώνυμον, ἱεράρχου κοσμήτορα, δωρεῶν πλησθέντα τοῦ θείου Πνεύματος, καὶ ἰαμάτων ἀείῤῥυτον, χειμάῤῥουν τοῖς πέρασι, ἐποφθέντα εὐλαβῶς, θεοφόρον Βασίλειον, ἀνυμνήσωμεν, τοῦ Ὀστρόγου τὸ κλέος καὶ νοσούντων, ἀνιάτως ἰατῆρα, μελισταγέσιν ἐν ᾄσμασι.

Δεῦτε πάντες χριστώνυμοι, εὐλαβῶς ἀσπασώμεθα, θήκην τῶν λειψάνων τὴν χαριτόβρυτον, τοῦ Βασιλείου τοῦμάκαρος, Ὀστρόγου κοσμήτορος, καὶ ἑτοίμου ἀρωγοῦ, Σέρβων τῆς ὁμηγύρεως, ἐν τοῖς κλύδωσι, καὶ δειναῖς περιστάσεσι τοῦ γένους, ἐν αἷς πλάνοις ἀζυμῖται, ἀεὶ αὐτὸ ἐπιβάλλουσι.

*Δόξα. Ἦχος πλ. β΄.*

Τὸν ὑπελθόντα τὸν ζυγὸν τοῦ Κυρίου ἐκ νεότητος, καὶ νεύσει θείᾳ ἱεραρχίας καὶ ἀρετῶν ἀνελθόντα τὴν κλίμακα, Βασίλειον τὸν θειότττον, πνευματικῶς ἀνευφημήσωμεν· οὗτος γὰρ ἀποφεύγων τὴν κατ' αὐτοῦ μῆνιν τῶν αὐτοῦ συμπολιτῶν, τὴν πίστιν ἐξομωσάντων, οἰκείᾳ βουλήσει τὴν Μονὴν τῶν Εἰσοδίων τῆς Θεοτόκου κατέλαβεν, ἐν ᾗ ἐπεδόθη τῇ μελέτῃ τῶν θεοπνεύστων πατέρων· καταντήσας οὖν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, θαυμάτων γέγονε πρόξενος καὶ πρεσβευτὴς ἡμῶν πρὸς Αὐτὸν θερμότατος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. η΄ 1-11)*

Υἱέ, σὺ τὴν σοφὶν κηρύξεις, ἵνα φρόνησίς σοι ὑπακούσῃ· ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἐστίν, ἀνὰ μέσον δὲ τῶν τρίβων ἕστηκε· παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει, ἐν δὲ εἰσόδοις ὑμνεῖται. Ὑμᾶς ὦ ἄνθρωποι, παρακαλῶ καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· νοήσατε ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου, σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα

τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτῷ σκολιὸν οὐδὲ στραγγαλιῶδες· πάντα ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Λάβετε παιδείαν καὶ μὴ ἀργύριον καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον· κρείσσων γὰρ σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. α΄ 1-10)*

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθωώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων

αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Εὐφραίνου ἐνθέως ἡ σὲ ἀνθήσασα Ἑρζεγοβίνη καὶ ἡ τοῦ Ὀστρόγου περίδοξος μάνδρα, καυχώμεναι τῇ ἀῤῥήτῳ σου δόξῃ, Βασίλειε, σημειοφόρε ἱεράρχα· ἡ μὲν ὡς ἁγιοτόκος μήτηρ εὐλαβῶς σε ἀνέθρεψεν, ἡ δὲ ἁγιασθεῖσα ταῖς ῥοαῖς τῶν δακρύων καὶ τιμίων ἱδρώτων σου, σεμνύνεται τῇ θήκῃ τῶν θαυματοβρύτων λειψάνων σου· καὶ ἀμφότεραι τῆς σῆς χάριτος διὰ παντὸς μνημονεύουσαι, λυτροῦνται παθῶν καὶ

κινδύνων καὶ θλίψεων. Ἀλλ’ ὦ σεβασμιώτατε Πάτερ, τὸν θεῖον ἡμῖν αἴτει ἱλασμὸν καὶ τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Ἦχος β΄.*

Ἀσκητικῶς ἀγωνισάμενος ἐν Ὀστρόγῳ θεοσδότων δωρεῶν ταμεῖον γέγονας ἄσυλον καὶ μέτοχον τῆς ἐν οὐρανοῖς ἀλήκτου μακαριότητος· ὑπερόπτης γὰρ ὀφθεὶς πάσης προσύλου σχέσεως ἀνενδότως Χριστῷ ἠκολούθησας καὶ ἰσαγγέλως ἐπολιτεύσω· διὸ νῦν τῷ ἀκροτάτῳ τῶν ἐφετῶν προσπελάζων, Βασίλειε τρισμακάριστε, μὴ ἐλλίπῃς πρεσβεύων ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

*Ἦχος γ΄.*

Τὴν προσήλωσίν σου εἰς τὴν ἁγίαν καὶ ὀρθόδοξον ἡμῶν πίστιν ἀμείβων ὁ δίκαιος ἀγωνοθέτης Κύριος, οὐρανοπολίτην σε ἀνέδειξε καὶ οὐρανοπολίτην σε ἀνέδειξε καὶ κοινωνὸν τῆς Αὐτοῦ εὐκλείας καὶ δόξης· ὅθεν πάντες οἱ τὰ ὀρθὰ φρονοῦντες τιμῶντές σε τὴν σὴν χάρτιν ἀπεκδεχόμεθα καὶ τὰς θεοπειθεῖς σου εὐχάς, Βασίλειε ἀοιδιμε.

*Δόξα. Ἦχος δ΄.*

Ἀναλῶσας πᾶν τὸ νεανικόν σου σφρῖγος ἐν τῇ τοῦ Χριστοῦ διακονίᾳ καὶ τοῦ ἱεροῦ Εὐαγγελίου διδασκαλίᾳ μητροπολίτης ἀξίως Ζαχουμίου ἐξελέγης, οὗ τὴν λογικὴν ποίμνην θεοφιλῶς ἐποίμανας καὶ ἴθυνας πρὸς νομὰς σωτηρίους· ἀξίωσον οὖν καὶ ἡμᾶς, Βασίλειε θεόφρον, ἀναλῶσαι τὸν βίον ἐν τῇ ὀρθοδόξῳ

διακηρύξει καὶ λιταῖς σου τὰς ὁδοὺς ἡμῶν εὔθυνον πρὸς ζωὴν τὴν αἰώνιον.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, Ἑρζεγοβίνης βλαστός, τοῦ Ζαχουμίου ἱεράρχης θειότατος, Σερβίας ἁπάσης κλέος, Ὀστρόγου εὖχος λαμπρόν, καὶ Ὀρθοδοξίας περιτείχισμα, τρισμάκαρ Βασίλειε, ὁ ἐκ χρόνων νεότητος, ἐπιποθήσας, βιοτὴν τὴν ἰσαγγελον, καὶ κραταίωσιν, ὀρθοδόξου φρονήματος· ὅθεν καὶ καθυπέμεινας, ἐκδίωξιν βάναυσον, παρ' ἀνομούντων συμμάχων, ἐν τῆς πατρώας οἰκίας σου, τῶν Ἄγαρ ἐκγόνων καὶ ἀζυμιτῶν τῶν πλάνων, θεομακάριστε.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, ὁ τοῦ Ὀστρόγου φρουρός, καὶ ἀρωγὸς καὶ βοηθὸς καὶ ὑπέρμαχος, καὶ πάντων τῶν χριστωνύμων, ἀκέστωρ ὁ ταχινός, ἀσκητῶν Ὁσίων ἐγκαλλώπισμα, παμμάκαρ Βασίλειε, ἀκτησίας κιννάμωμον, σκληραγωγίας, μυροβόλον ὀσφράδιον, καὶ δεήσεων, ἐκτενῶν ἴον εὔοσμον· ὅθεν τὴν θείαν μνήμην σου, τιμῶντες γηθόμενοι, καὶ τὴν σορὸν σῶν λειψάνων περιχαρῶς ἀσπαζόμενοι, αἰτούμεθα πόθῳ, τὰς θεοπειθεῖς εὐχάς σου πρὸς τὸν Παντάνακτα.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαίροις, ὁ μετὰ πότμον ὀφθείς, παντοδαπῶν θαυμάτων κρήνη ἀείῤῥυτος, ἰάσεων ὁ χειμάῤῥους, τῶν

νόσων φυγαδευτής, δυσθυμίας πάσης ἀποδίωξις, πνευμάτων ἀπέλασις, ἀκαθάρτων καὶ σύντριμμα, τῶν δαιμονίων, ἱεράρχα Βασίλειε, θείας χάριτος, ἐνδιαίτημα πάνσεπτον· ὅθεν πιστῶς προστρέχοντες, ἀσπάσασθαι λείψανα, τὰ σὰ σεπτὰ ἐν Ὀστρόγῳ χαρᾶς ἀφθίτου πληρούμεθα, καὶ τὸν ὑπὲρ λόγον σὲ δοξάσαντα αἰνοῦμεν ᾠδαῖς εὐσχήμοσι.

*Δόξα. Ἦχος πλ. δ΄.*

Δραστηρίως ἐργασθεὶς ἐν ὅλῳ σου τῷ βίῳ, ἐναντίον τῶν οὐρανιτῶν καὶ πάντων τῶν δυτικοφρόνων ἀζυμιτῶν ὀλέτης ἐχρημάτισας, καὶ Ὀρθοδόξων ὑπέρμαχος, Βασίλειε πάνσοφε· ὅθεν τὴν σὴν μνήμην εὐλαβῶς ἐπιτελοῦντες, καὶ τὰς εὐχάς σου πρὸς Κύριον ἐκδεχόμενοι, Αὐτὸν δοξολογοῦμεν ἀπαύστως τὸν ἐν τῇ πατρώᾳ ἡμᾶς πίστει ἀκλινῶς στηρίζοντα.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἀσκητὴν θεοφόρον καὶ πνευματέμφορον, τῆς οὐρανῶν Βασιλείας τὸν κληρονόμον λαμπρῶς, εὐφημήσωμεν Βασίλειον τὸν ἔνθεον, ὡς τοῦ Ὀστρόγου ἱερόν, κλέος καὶ θεοειδῆ, ποιμένα τοῦ Ζαχουμίου, ἀξίως θαυμαστωέντα, λιτὰς αὐτοῦ θερμὰς αἰτούμενοι.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ἀνέτειλας λαμπρῶς, ἐν τῇ Ἑρζεγοβίνῃ, ὡς ἄστρον τηλαυγές, πολιτείας ἐνθέου, τρισμάκαρ Βασίλειε, τοῦ Ὀστρόγου διάκοσμε· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, ἑορτάζοντες, τῶν Ὀρθοδόξων τὰ πλήθη, τρανῶς σε γεραίρομεν.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὴν β΄ στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὡς φίλον σε γνήσιον τοῦ παντεπόπτου Θεοῦ, καὶ μύστην τῆς χάριτος θεοειδῆ ἀκλινῶς, τιμῶμεν Βασίλειε, καύχημα τοῦ Ὀστρόγου, καὶ θειότατον εὖχος, πάντων τῶν σὲ ὑμνούντων, καὶ σπευδόντων ἐν πίστει, ἀσπάσασθαι λειψάνων σορόν, σὴν θαυματόβρυτον.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὸν διαλάμψαντα, ὀρθῷ φρονήματι, ὡς ἄστρον πάμφωτον, ἐγκωμιάσωμεν, Ὀστρόγου θεῖον φρυκτωρόν, φωτίζοντα θαυμασίων, πλήθει τὴν ὑφήλιον, εὐσεβῶν τὰ συστήματα, τὰ κατασπαζόμενα χαριτόβρυτα λείψανα, αὐτοῦ καὶ γεγηθότα βοῶντα· Χαῖρε Βασίλειε τρισμάκαρ.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Τὸ α’ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον Ὁσιακόν (Λουκ. στ΄, 17-23): *Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...* Ζήτει τῇ Παρασκευῇ τῆς β΄ Ἑβδομάδος.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὡς τῆς στενῆς τῆς ἀσκήσεως καὶ σκληραγωγίας τρίβου ὁδοιπόρον τὸν στενώσαντα τὰς ἀτάκτους τοῦ παμβεβήλου πόρειας τῷ πλάτει τῆς ἐναρέτου αὐτοῦ πολιτείας, Βασίλειον τὸν πνευματέμφορον, ἐγκωμιάσωμεν κράζοντες· πρὸς πλάτος πόλεως τῆς ἄνω στρέψον τῆς ψυχῆς ἡμῶν πυξίδα καὶ τῶν αἰωνίων ἀγαθῶν κληρονόμους ἀνάδειξον τοὺς πόθῳ τελοῦντας τὴν ἀεισέβαστον μνήμην σου, ἱεράρχα ἐνθεώτατε.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:*Βασίλειον, Ὀρθοδόξων τιμῶ νέον εὖχος. Χ.*

*Ὠδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Βάθρον θεοφόρων, ἀσκητῶν τῶν ἐν Σερβίᾳ λαμψάντων καὶ σέμνωμα, Ὅσιε Βασίλειε, σαῖς ἀρεταῖς

ταῖς θεαρέστοις ηὔγασας πᾶσαν Ἐκκλησίαν τὴν νῦν τιμῶσαν τὴν μνήμην σου.

Ἄγγελε ἀσκήσεως λαμπρέ, καὶ ἱεράρχα σεπτὲ καὶ πανίερε, πάμφωτε Βασίλειε, ταῖς ἀστραπαῖς σῆς Ὀρθοδόξου πίστεως, ηὔγασας Σερβίας τὸ χριστεπώνυμον πλήρωμα.

Στῦλε τῶν δογμάτων τῶν ὀρθῶν, σημειοφόρε Βασίλειε, ἅπαντα τὸν λαὸν ἐστήριξας τοῖς λόγοις τοῖς σοῖς, καὶ θείῳ παραδείγματι νῦν σὲ μεγαλῦνον, ᾠδαῖς εὐήχοις καὶ ᾄσμασι.

*Θεοτοκίον.*

Ἵλεων Παρθένε Μαρία σεμνή, ἡμῖν ἀπέργασαι Τόκον τὸν θεῖόν Σου, Σὲ τοῖς ἀνυμνοῦσιν εὐτάκτως ἀεί, καὶ μελῳδοῦσι σκάμματα θείου Βσιλείου, Ὀρθοδοξίας ἐρείσματος.

*Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.*

Λαμπὰς τῶν ὀρθῶν δοξασιῶν, Βασίλειε τρισόλβιε, κηρύγματός σου φέγγει κατηύγασαε, τῶν χριστωνύμων Σέρβων συστήματα, τὰ τιμῶντα μνήμην σου τὴν σεπτὴν καὶ πάμφωτον, ἱεράρχα Χριστοῦ χαριτόβρυτε.

Ἐχθρὸς ὁ μισόκαλος ὁρῶν Βασίλειε, καρδίας σου τὴν καθαρότητα, καὶ τὸ φρόνημα τὸ σὸν ὀρθόδοξον ἐξαπέστειλεν Ἄγαρ ἐναντίον σου τοὺς ἐκγόνους, Ὅσιε θαυμαστέ, καὶ ἑσμὸν δυτικόφρονα.

Ἱδρώτων τιμίων σου ῥοαί, καὶ χεύματα δακρύων σου, Ἑρζεγοβίνης χθόνα ἐπίαναν, καὶ τοῦ Ὀστρόγου

ἄνικμον σπήλαιον, ἱερὲ Βασίλειε, ὅπερ καθηγίασας, καταθέσει τιμίου λειψάνου σου.

*Θεοτοκίον.*

Ὁ πάντων αἰώνων Ποιητής, καὶ κόσμου κυριεύοντος δι᾿ εὐσπλαγχνίαν ἄκραν Μητρόθεε, ἐκ τῶν αἱμάτων Σου σάρκα εἴληφε, καὶ βροτῶν ἀνέδειξέ Σε θερμὴν μεσίτριαν, καὶ ὀχύρωμα μέγα καὶ στήριγμα.

*Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τὸν παιδιόθεν ἐποφθέντα οἰκεῖον Θεοῦ, καὶ ξένον ἁμαρτίας βροτείου, ἀρχιερέα Ὅσιον πιστοί, εὐλαβῶς μέλψωμεν Βασίλειον, Ζαχουμίου ποιμένα καὶ Ὀστρόγου καύχημα, καὶ φρουρὸν καὶ προστάτην ἐν τοῖς κινδύνοις, καὶ ἐν τοῖς δεινοῖς ὡς Ὀρθοδόξου Σερβίας καλλώπισμα.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*ᾨδὴ δ΄. Ὄρος σε τῇ χάριτι.*

Νέκταρ τῆς χρηστότητος τρυγήσας Βασίλειε, ἐκ τῶν χειλέων σῆς μητρός, καὶ ἀμβροσίαν τῶν ὀρθῶν διγμάτων τῆς πίστεως, ψυχὴν τὴν θείαν σου κυψέλην κατέδειξας μέλιτος, Πάτερ Ὀστρόγου ὡράϊσμα.

Ὅσιε Βασίλειε, ἀσκήσεως μέλαθρον, καὶ ἀγωγῆς μοναδικὸν λαμπρὸν ἀνάκτορον ὀφθείς, Σερβίαν ἠγλάϊσας τὴν νῦν τιμῶσάν σου τὴν μνήμην τὴν πάνσεπτον, ᾄσμασι θείοις καὶ ὕμνοις ἐμπρέπουσι.

Ῥεῖθρον ἁγιότητος θεόφρον Βασίλειε, καὶ θαυμασίων ποταμέ, ἀρδεύεις πάντων τὰς ψυχὰς σπευδόντων σῇ χάριτι, καὶ προσκυνούντων τὴν σορὸν τῶν λειψάνων σου, ἐν τῇ Μονῇ τοῦ Ὀστρόγου πανεύφημε.

*Θεοτοκίον.*

Θραῦσον τῇ δυνάμει προσευχῶν Σου τὰ ἔνεδρα τοῦ μισοκάλου πτερνιστοῦ, Θεογεννήτρια σεμνή, Παρθένε πανάμωμε, ἵνα ψυχῆς ἐν κατανύξει Σε πάντοτε, μελισταγέσιν ᾠδαῖς μακαρίζωμεν.

*ᾨδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Ὁσιότητος πυξίον, Ὀστρόγου θησαύρισμα, πνευματοκινήτων Σέρβων Πατέρων ὡράϊσμα, καὶ Ὀρθοδοξίας τιμαλφὲς Βασίλειε σκήνωμα, τὰ σὰ παλαίσματα σέβομεν.

Δόξης ἔπαθλον λαβὼν αἰωνίου Βασίλειε, ἐκ χειρῶν τοῦ κατ' ἀξίαν πιστοῖς ἀπονέμοντος γέρα παντεπόπτου Ἰησοῦ, πρεσβεύεις ἀείποτε, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Ὀπτικόν σου τοῦ νοός, τρισμάκαρ Βασίλειε, προσευχῇ ἀνακαθάρας, καὶ πόνοις ἀσκήσεως καθορᾷν ἠξίωσαι, Χριστοῦ μορφῆς κάλλος ἄῤῥητον, ἐν τοῖς ἄνω σκηνώμασι.

*Θεοτοκίον.*

Ξενωθέντος γεηρῶν ἁπάντων ἐντεύξεσιν, ἱεράρχου Βασιλείου, Ὀστρόγου ἀκέστορος Θεοτόκε, ῥῦσαι

συμφορῶν τοὺς Σὲ μεγαλύνοτνας, εὐσχημόνως ἀείποτε.

*ᾨδὴ στʹ. Ἐκύκλωσεν ἡμᾶς.*

Ὡς ξένον τῆς φιλίας κόσμου πέλοντα, καὶ φίλον Παντοκράτορος, καὶ Θεοῦ τῶν ὅλων σε πανευλαβῶς τιμῶμεν, Βασίλειε θαυματουργέ, τοῦ Ζαχουμίου ἱεράρχα ὄντως θειότατε.

Νῦν μνήμην τὴν σεπτήν σου ἑορτάζοντες, Ὀστρόγου Βασίλειε, τῆς Μονῆς κοσμῆτορ σεπτὲ καὶ φρουρέ, λιτάς σου αἰτούμεθα τὰς σωστικάς, ἵνα καλῶς προσκαίρου βίου τρίβον ἀνυμνήσωμεν.

Τὸ φρόνημα οὐράνωσον προσφυγῶν σου ἐνθέρμων Βασίλειε, καὶ τῶν Ὀρθοδόξων τὴν πίστιν τρανῶς κραταίωσον, Πάτερ θαυματουργέ, Πατέρων ἔκτυπον ἐνθέων, μύστα τῆς χάριτος.

*Θεοτοκίον.*

Ἰσχύος τὰς ψυχὰς Σῶν δούλων ἔμπλησον Θεογεννῆτορ ἁγνή, Σὲ μεγαλυνόντων ἀεὶ ἐν χορῷ καὶ ᾄσμασι σκάμματα σεπτά, μακαριζόντων Βασιλείου, σκεύους τῆς χάριτος.

*Κοντάκιον. Ἦχος πλ. δʹ. Τῇ Ὑπερμάχῳ.*

Ἱεροφάντορα σεπτὸν καὶ ἰσαπόστολον, Ἑρζεγοβίνης καὶ Σερβίας ἐγκαλλώπισμα, τὸν ἀσκήσαντα ἐνθέως ἐν τῷ Ὀστρόγῳ, καὶ θαυμάτων καταυγάσαντα τὰ πέρατα, ἀστραπαῖς αὐτοῦ τιμήσωμεν γηθόμενοι, ἀνακράζοντες· Χαίροις μάκαρ Βασίλειε.

*Ὁ Οἶκος.*

Ἄγγελος σαρκοφορός, βιοτῆς ὀρθοδόξου, τὰ σκῆπτρα ἐν παλάμαις βαστάζων, καὶ πιστῶν κατεύφρανας χοροὺς σοῦ τῇ παῤῥησίᾳ καὶ πολλῇ χάριτι, Βασίλειε πανεύφημε· διό σοι εὐλαβῶς φωνοῦμεν·

Χαῖρε, ὁ στῦλος Ὀρθοδοξίας·
χαῖρε, ὁ φάρος ὀρθοπραξίας.
Χαῖρε, ἱεράρχου στολὴν ἐνδυσάμενος·
χαῖρε, Παρακλήτου τὴν χάριν δεξάμενος.
Χαῖρε, ὅτι κατηγλάϊσας Ζαχουμίου τὸν λαόν·
χαῖρε, ὅτι ἐγκατέλιπες πᾶν γεῶδες καὶ ῥευστόν.
Χαῖρε, τῶν μονοτρόπων τοῦ Ὀστρόγου τὸ εὖχος·
χαῖρε, ἐνασκουμένων θεαρέστως τὸ κλέος.
Χαῖρε, θαυμάτων τίμιος πρόβολος·
χαῖρε, χαρίτων βρύσις ἀστείρευτος.
Χαίροις, μάκαρ Βασίλειε.

*Συναξάριον.*

Τῇ ΚΘ΄ τοῦ μηνὸς Ἀπριλίου, Μνήμη τοῦ  Ἁγίου Βασιλείου_τοῦ Ὀστρογκ, Μητροπολίτου Ζαχουμίου Σερβίας.

*Βασιλείας ἄνω τρυφᾷς νῦν εὐκλείας,*
*Βασίλειε, Ὀστρόγου γέρας καὶ δόξα.*

*Ὠδὴ ζ΄. Σὲ νοητήν.*

Μονὴ σεπτὴ ἡ τοῦ Ὀστρόγου τιμῶσά σου τὴν μνήμην τὴν περικλεῆ, αἰσίαις κράζει σοι φωναῖς·

θεαυγὲς Βασίλειε, ἱεράρχα Ὅσιε, Χριστὸν δυσώπει ἀείποτε, πέμψαι ἡμῖν ἄμφω ῥώμην, καὶ σθένος καὶ ὑγείαν.

Ὡς τῆς χαρᾶς ἐν πόλῳ Πάτερ Βασίλειε, τῶν ἐκλεκτῶν συγκοινωνός, μὴ διαλίπῃς ἐκτενῶς ἱκετεύων Κύριον, τῆς χαρᾶς τῆς κρείττονος καταξιῶσαι τοὺς μέλποντας, σὴν ἁγίαν μνήμην, τὴν φωταυγῆ καὶ φωτόλαμπρον.

Νῦν οἱ χοροὶ τῶν Ὀρθοδόξων Βασίλειε, σὲ καταστέφοντες ᾠδαῖς καὶ ὑμνῳδίαις μελιχραῖς, πόθῳ δυσωποῦμέν σε· τὴν ὁμίχλην δίωξον, καὶ σκοτασμὸν τῶν αἱρέσεων, ἐξ ὀρθοδόξων τῆς ποίμνης, φωτὶ σῶν θείων ἐντεύξεων.

*Θεοτοκίον.*

Ἐξ οὐρανοῦ Θεογεννῆτορ, ἐπίβλεψον καὶ ἴδε τοὺς πανευλαβῶς Σὲ μεγαλύνοντας ἀεί, καὶ ταχὺ ἐπίσκεψαι τοὺς δεινῶς καθεύδοντας, ἐν κλίναις πόνων καὶ θλίψεων φθοροποιῶν ἑκάστοτε, δούλους τῆς Σῆς ἀγαθότητος.

*ᾨδὴ η΄. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.*

Ὅσιε Βασίλειε, πυρσὲ φωτόλαμπρε συνέσως, νηστείας καὶ ἀγρυπνίας, εἰς σκηνώσεις οὐρανοῦ παμφώτους κατήντησας, εὐλογῶν ἀσιγήτως τὸν Κτίστην τῶν ἁπάντων, καὶ Σωτῆρα κόσμου, Ὃν ὕμνησες ἀφράστως

Νίκας κατ᾽ ἐχθρῶν περιφανεῖς, τοῖς σοῖς ἱκέταις δώρησαι, Βασίλειε θεοφόρε, καὶ δολίων οὐνιτῶν

ἐσμὸν ἀποδίωξον προβατόσχημον, Πάτερ, σπαράξαι τὸν ζητοῦντα ἄρνας τῆς ἀγέλης ἀεὶ ὀρθοφρονούσης.

Ἔνδοξε Βασίλειε, κρηπὶς στεῤῥὰ θείας πίστεως, καὶ βάθρον ὀρθοπραξίας, ἐκ μυχίων τῆς ψυχῆς θερμῶς δυσωποῦμέν σε· θεῖε ἱεροφάντορ, ὁ τοῦ Καλοῦ Ποιμένος ζηλωτής, σοὺς ἱκέτας ἐχθροῦ τῆς βλάβης ῥῦσαι.

*Θεοτοκίον.*

Ὕμνοις Σε γεραίρομεν ἀεί, Μητέρα φιλόστοργον οἰκτίρμονος Θεοῦ Λόγου, Θεοτόκε ἀγαθή, καὶ παρακαλοῦμέν Σε· σκέπε πάντας Σοὺς δούλους ὑμνοῦντας εἰς αἰῶνας, καὶ ὑπερυψοῦντας, τὸν πάνσεπτόν Σου Τόκον.

*ᾨδὴ θ΄. Τύπου τῆς ἁγνῆς λοχείας Σου.*

Χαῖρε Πάτερ ὁσιώτατε, ἱερομύστα χάριτος φωτοειδέστατε, σοφῶν ἀσκητῶν, Σερβίας κλέος Βασίλειε, καὶ σοφὲ Ὀρθοδόξων διδάσκαλε, ὁλοθύμως βοῶμεν· Μονῆς Ὀστρόγου σεμνολόγημα.

Ὄμβρισον ἡμῖν γεραίρουσι τὴν θείαν μνήμην σου, εὐτάκτοις μελῳδήμασι, σεπτὲ ἱεράρχα, θεαυγὲς Βασίλειε, ὑετὸν δωρεῶν θείου Πνεύματος, καὶ χρηστότητος δρόσον ξηράς, καρδίας πιαίνουσαν.

Στήριζε ἡμᾶς Βασίλειε, ὑμνολογοῦντας μνήμην σου τὴν ὑπέρλαμπρον, καὶ νῦν προσκυνοῦντας τὴν σορὸν τῶν λειψάνων σου, τὴν ἀπαύστως ἐκβλύζουσαν νάματα ἰαμάτων παντοίων, ταῖς εὐσεβῶν ὁμηγύρεσι.

*Θεοτοκίον.*

Χαῖρε τοῦ Ὑψίστου μέλαθρον πανευπρεπές, καὶ θρόνε Αὐτοῦ χρυσότευκτε, ἁγνὴ Θεοτόκε, πιστῶν ἀγαλλίαμα καὶ ἀκέστορ καμνόντων κραυγάζομεν· ἡ τὰς νόσους καὶ ἄλγη τὰ ζοφερὰ ἐκδιώκουσα.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Στολὴν ἀμφιεσάμενος, ἱεραρχίας ἔλαμψας, ἀσκητικῶς ἐγκρατείᾳ, καὶ προσευχῇ καὶ νηστείᾳ, καὶ ἐμμονῇ Βασίλειε, τῷ Ὀρθοδόξῳ δόγματι, οὗ εὐσθενὴς ὑπέρμαχος ὤφθης, Ὀστρόγου κοσμῆτορ, καὶ Σέρβων φῶς Ἐκκλησίας.

*Θεοτοκίον.*

Ἀφράστως Μητροπάρθενε, Χριστὸν σαρκὶ ἐκύησας, καὶ ὡς πρὸ τόκου παρθένος, μετὰ τὸν θεῖόν σου τόκον, διέμεινας ἀπείρανδρος, Παρθένε θεοδόξαστε· διὸ τὰ μεγαλεῖά Σου, ἐν κατανύξει ὑμνοῦμεν, τῶν χοϊκῶν αἱ χορεῖαι.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πάτερ, ἱερὲ Βασίλειε, Ἑρζεγοβίνης βλαστέ, εὐθαλὲς καὶ ἡδύπνευστε, Ζαχουμίου πρόεδρος, ἱερὸς ἐχρημάτισας, ἰθύνων ποίμνην πρὸς ἀφθαρτότητα, τὴν σοὶ λαχοῦσαν καὶ ὑπὲρ ἔννοιαν, δόξαν μακάριε, ἧσπερ ἀπολαύουσιν ἐν οὐρανῶν, φωτεινοῖς σκηνώμασιν, Ἀγγέλων τάγματα.

Πάτερ, ἱερὲ Βασίλειε, ἐν ταπεινώσει πολλῇ, τὸν σὸν βίον διήνυσας, καὶ ὡς πάντων ἔσχατος, τῶν ἀνθρώπων

κατέλαβες, τὸ τοῦ Οστρόγου πάνσεπτον σπήλαιον, ὃ Ἡσαΐας ἔσχεν κατάλυμμα, ὁ ὁσιώτατος, οὗ κατηκολούθησας ταῖς ἀτραποῖς, πολιτείας ἔμφρονος, καὶ ἀγαθότητος.

Πάτερ, ἱερὲ Βασίλειε, Ὀρθοδοξίας φρουρός, καὶ ἀνύστακτος πρόμαχος, ἐποφθεὶς ἐπάτησας, τὴν ὀφρὺν καὶ τὰ ἔνεδρα, δυτικοφρόνων καὶ νίκης τρόπαια, ἔστησας μάκαρ πατρῴου δόγματος· ὅθεν τὴν μνήμην σου, ἐκτελοῦντες σήμερον τὴν ἱεράν, ὥσπερ ἰσαπόστλον, σὲ μακαρίζομεν.

Πάτερ, ἱερὲ Βασίλειε, τῶν σῶν λειψάνων σορόν, εὐλαβῶς ἀσπαζόμενοι, ἐν Ὀστρόγῳ πάντιμε, Πάτερ τὴν χαριτόβρυτον, σὲ ὡς θαυμάτων πηγὴν ἀέναον, ὑμνολογῦμεν καὶ ἀκεσώδυνον, φρέαρ ἰάσεων, τὸν πιστοῖς παρέχοντα διηνεκῶς, σθένος καὶ ὑγείαν, ἰσχὺν καὶ δύναμιν.

*Δόξα. Ἦχος πλ. α΄.*

Ταῖς ἀρεταῖς διαλάμψας παιδιόθεν, τῶν ὑπὲρ νοῦν δωρεῶν ἐνεπλήσθης καὶ διαυγὲς κυάθιον τοῦ πανσθενοῦς ἀνεδείχθης Παρακλήτου, θεόσοφε Βασίλειε· ἀγωνισθεὶς γὰρ ὑπὲρ ἄνθρωπον, καὶ τὴν Ὀρθόδοξον ἀσινῆ τηρήσας πίστιν ἐθεώθης κατὰ μέθεξιν, καὶ δαψιλῶς οὐρανόθεν ἐθαυμαστώθης· ὅθεν τὴν σὴν μνήμην γεραίροντες καὶ τοὺς νυχθημέρους σου καμάτους πρὸς ὁλοκλήρωσιν μέλποντες, Χριστὸν δοξάζομεν τὸν ἰσχύσαντά σε, καὶ διὰ σοῦ παρέχοντα πᾶσι τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις Βασιλείας τῶν οὐρανῶν, κληρονόμε θεῖε, θαυματόβρυτε ἀσκητά, κλέϊσμα Ὀστρόγου, καὶ ποίμνης Ζαχουμίου, ποιμὴν καὶ ἱεράρχα σῶφρον Βασίλειε.

